πολλάκις περιπίπτων, ἐμφύλιον ὑπομένων πόλεμον, παρὰ τῶν ἐχθρῶν, παρὰ τῶν γνωρίμων βαλλόμενος διηνεκῶς, μυρίαις ἐπιβουλευόμενος ἐπιβουλαῖς, λιμῷ καὶ γυμνότητι παλαίων, ἑτέρας πυκνὰς καὶ συνεχεῖς ὑπομένων περιστάσεις καὶ θλίψεις. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καθ᾽ ἑκάστην ἀποθνήσκων τὴν ἡμέραν. ἀλλ᾽ ὅμως τοσαῦτα πάσχων καὶ τηλικαῦτα, οὐ μόνον οὐδὲν ἐξήνεγκε ῥῆμα βλάσφημον, ἀλλ᾽ ἔχαιρεν ἐπὶ τούτοις καὶ ἐκαυχᾶτο· καὶ νῦν μὲν φησι· χαίρω ἐν τοῖς παθήμασί μου· νῦν δὲ πάλιν, οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν. εἰ τοίνυν τοσαῦτα πάσχων αὐτὸς ἔχαιρε, καὶ ἐκαυχᾶτο, τίνα ἕξεις συγγνώμην, ποίαν ἀπολογίαν σὺ οὐ τὸ πολλοστὸν αὐτῶν ὑπο-

*mare demersus, sæpe in latrones incidens, intestinum bellum gerens, ab inimicis iactatus continenter, infinitis insidiis exagitatus, cum fame ac nuditate luctatus, alios crebros ac assiduos casus & afflictiones perpessus. Quid opus est multis? quotidie moriens. Sed tamen tot tantaq; passus, non modo nullum verbum maledictum edidit, sed gaudebat his rebus et gloriabatur, atque aliâs:* Gaudeo, *inquit*, in passionibus meis; *aliâs*, Non solùm autem, sed & gloriamur in tribulationibus. *si igitur ipse tanta perferens gaudebat & gloriabatur. quæ venia dabitur, quæ excusatio tibi, qui nec multesimam illorũ par-*

Col. 1.

Rom. 5.